www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον καὶ ἔνδοξον Πρωτομάρτυρα καὶ Ἀρχιδιάκονον Στέφανον

Ἦχος πλ.α΄

Ἅγιον Ὅρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἰλαρίωνος Μοναχοῦ*

# Κανὼν εἰς τὸν Ἅγιον καὶ ἔνδοξον Πρωτομάρτυρα καὶ Ἀρχιδιάκονον Στέφανον. Ἦχος πλ.α'.

*Ὠιδὴ Α' Τῷ Σωτῆρι Θεῷ.*

Στεφανούσθω φωναῖς, ἄνθεσιν ὥσπερ λαμπροῖς, ὁ πρωτομάρτυς ὁ πανένδοξος, καὶ Ἀποστόλων τοῖς χοροῖς ὁ ἰσοστάσιος, ἀθλούντων ὁ ἔξαρχος πάντων ὁ Στέφανος.

Τῆς Τριάδος αὐτῆς, τῷ θεολέκτῳ λαῷ, πίστεως πλήρης καὶ δυνάμεως, ὑφηγητὴς ὑψηγορῶν τὰ ὑπερκόσμια, Πανάγιε Στέφανε καὶ πανσεβάσμιε.

Ἐκλογῆς ἀπαρχή, τῶν κορυφαίων σεπτή, ἐν διακόνοις θεοτίμητος, στεφανηφόρων τῆς ζωῆς τοῦ Λόγου πρύτανις, κινύρα οὐράνιον μέλος ἠχήσασα.

*Θεοτοκίον.*

Ἱλαρῶς ὡσπερεί, Κόρη τὰ δύο λεπτά, χήρα ἡ πρώην ἀναμέλποντα, τῷ Πρωτομάρτυρι ᾠδὴν φωτὶ τῆς χάριτος, τὸν νοῦν μου καταύγασον τῆς σῆς Θεόνυμφε.

*Ὠιδὴ Γ' Δυνάμει τοῦ Σταυροῦ σου.*

Φωσφόροις τῶν σῶν λόγων σοφέ, ταῖς λαμπηδόσι περιηύγασας, τὴν οἰκουμένην ὡς ἄλλος ἑωσφόρος θεῖε Στέφανε.

Ἀνόμων χριστοκτόνων βουλάς, τοῦ Παναγίου σθένει Πνεύματος, τῶν πτωτοάθλων θεόφρον, διεσκέδασας ὁ πρώτιστος.

Νυγέντος ἐν Σταυρῷ τὴν πλευράν, στεφανηφόρε διετράνωσας, τοῖς πυριφθόγγοις σου λόγοις, συγκατάβασιν τὴν ἄρρητον.

*Θεοτοκίον.*

Λαμπτῆρσι φωτοβόλοις Ἁγνή, τὴν κτίσιν πᾶσαν κατεφαίδρυνας, χοροῖς μαρτύρων Παρθένε, φῶς τεκοῦσα τὸ ἀνέσπερον.

*Ὠιδὴ Δ΄ Εἰσακήκοα τὴν ἀκοήν.*

Ὡσεὶ πρόβατον ἐπὶ σφαγήν, ὁ Πρωτομάρτυς τοῦ Χριστοῦ, θεῖος Στέφανος ἀγόμενος Θεῷ ἀνεκραύγαζε, δόξα τῇ δυνάμει σου Κύριε.

Τὴν παράνομον συναγωγήν, διεξελέγχων τὸν Υἱόν, τοῦ Θεοῦ ἑστῶτα αὐτοῦ ἐκ δεξιῶν, τρισμακάριστε, ἐθεώρεις ἔνδοξε Στέφανε.

Ὠρυώμενον τὸν συρφετόν, τῶν θεομάχων ὁ κλεινός, ἀριστεὺς μελῴδημα,

Χριστῷ τῷ λυτρωτῇ, ἀνεκραύγαζε, δόξα τῇ δυνάμει σου Κύριε.

*Θεοτοκίον.*

Ἀκατάληπτον τὸ ἐπὶ σοί, καὶ ἀνερμήνευτον πραχθέν, Θεοτόκε θαῦμα Ἀγγέλοις καὶ βροτοῖς, τὸν γὰρ ἄχρονον, χρονικῶς σαρκὶ ἀπεκύησας.

*Ὠιδὴ Ε' Ὀρθρίζοντες βοῶμεν.*

Πρωτάθλων τὸν ἐξάρχοντα σήμερον, πανευσεβῶς, ἐνθέοις ἐν ἄσμασι, Στέφανον πιστοὶ ἀνυμνήσωμεν.

Ῥοαῖς τῶν αἱμάτων μακάριε, καταστολήν, θείαν ἐνδυσάμενος, πρὸς οὐρανὸν ἀνελήλυθας.

Ὡς μέγαν σε τῆς χάριτος κύρυκα, καὶ τοῦ Χριστοῦ, τῶν μαρτύρων Πρώταθλον Στέφανε σὲ μακαρίζομεν.

*Θεοτοκίον.*

Ῥυπῶσαν τῶν βροτῶν ἀπεκάθηρας, φύσιν Ἁγνή, τῷ ἀσπόρῳ τόκῳ σου, Μαριὰμ Μητροπάρθενε.

*Ὠιδὴ ΣΤ' Μαινομένην κλύδωνι.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τοῦ Χριστοῦ τὸν ἔνδοξον, στρατιώτην, σήμερον πιστοί, ἐγκωμίων ὕμνοις στεφανώσωμεν, καὶ ἀρωγῆς αὐτοῦ θερμῶς αἰτησώμεθα.

Ὁ λιθολευστούμενος, Πρωτομάρτυς, πρὸς τὸν Ἰησοῦν, καὶ Θεὸν ἀνέκραζε δεόμενος, τοῖς φονευταῖς, τὴν ἄφεσιν ἐξαιτούμενος.

Μετ' ἀγγέλων Στέφανε, συγχορεύων, ἐν τοῖς οὐρανοῖς, τῶν σῶν ἱκετῶν τῆς παρακλήσεως, δέχου καὶ δὸς τῶν αἰτουμένων τὰ πρόσφορα.

*Θεοτοκίον.*

Ἰησοῦν ἐκύησας, τῶν ἁπάντων τὸν Δημιουργόν, φύσεσι διτταῖς καὶ τὴν ὑπόστασιν, ἕνα Ἁγνή, βροτῶν τοῦ γένους εἰς λύτρωσιν.

*Ὠιδὴ Ζ΄ Ὁ ἐν καμίνῳ πυρός.*

Ἀνατολήν σε χοροῦ, Χριστοῦ μαρτύρων στεφηφόρε Στέφανε, ὕμνοις ἀεί, πιστῶς γεραίρομεν.

Ῥόδον ὡσεὶ ἀκανθῶν, ἐν μέσῳ μάκαρ τῶν ἀνόμων, διεμελώδεις Χριστῷ, εὐλογητὸς ὁ Θεός.

Τῶν ἀναιρούντων σὲ ἀνδρῶν, θεῖε Στέφανε προσηύχου, μὴ λογισθῆναι αὐτοῖς εἰς ἁμαρτίαν Χριστῷ.

Θεοτοκίον.

Ὡραῖάν σε τοῦ Πατρός, εὑρὼν ὁ Λόγος Παναγία, καὶ καθαρὰν ἀγαθή, ἐν σοὶ ἐσκήνωσε.

Ὠιδὴ Η΄ Σοὶ τῷ Παντουργῷ.

Ὕψωσον πιστῶν, τὸ κέρας ὀρθοδόξων πανάγιε Στέφανε Χριστοῦ Διάκονε, καὶ συνονθύλευμα τῶν καινολογησάντων, ἀποσκοράκισον, τελείως ταῖς εὐχαῖς σου.

Ῥῶσιν ὁ κλεινός, Χριστοῦ Πρωτομάρτυς, ψυχῆς καὶ τοῦ σώματος, ἅμα καὶ ἴασιν, πᾶσι δωρεῖται, αὐτοῦ τοῖς ἐκτελοῦσι, πίστει τε καὶ πόθῳ, τὴν σεβασμίαν μνήμην.

Ἶσον τῷ Πατρί, τὸν Λόγον καὶ τὸ Πνεῦμα, ὁμοῦ τὸ Πανάγιον, μίαν Θεότητα, μίαν οὐσίαν καὶ φύσιν προσκυνοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νόμων ἐν γαστρί, χωρὶς τὸν Θεὸν Λόγον, τῆς φύσεως Ἄχραντε ἐκυοφόρησας, εἰς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων, ἡ δεδοξασμένη εἰς πάντας τοὺς αἰῶνας.

Ὠιδὴ Θ΄ Ἠσαΐα χόρευε.

Ὡς ἡμέρα εὔσημος, ὡς ἡμέρα θείας χαρμονῆς, καὶ πλήρης πνευματικῆς, χάριτος φαιδρά, ἐπέτειος ἔλαμψε, τῶν ἀθλητῶν τῆς παρεμβολῆς, τοῦ καθηγήτορος, ἀριστέως καὶ πρυτάνεως.

Διακόνων ἔξαρχε, καὶ μαρτύρων θεία ἀπαρχή, Ἀγγέλων συγχορευτά, ἐν τοῖς οὐρανοῖς, πανένδοξε Στέφανε, μεθ' ὧν Χριστῷ τῷ παμβασιλεῖ, ἀπαύστως πρέσβευε, ὑπὲρ πάντων τῶν ὑμνούντων σε.

Ἡ ταῖς ὑποστάσεσι, τρισσουμένη, καὶ μοναδική, Θεότητι ὁ Πατήρ, ἅμα ὁ Υἱός, τὸ Πνεῦμα τὸ Ἅγιον, πάντων Θεέ, τοὺς εἰλικρινῶς, ὁμολογοῦντάς σε, ἀεὶ σκέπε καὶ περίσωζε.

*Θεοτοκίον.*

Μέλπων ὁ Ἀρχάγγελος, σοὶ τὸ Χαῖρε, πρὶν ὁ Γαβριήλ, Θεόνυμφε καὶ ἡμεῖς, μέλπομεν ἀεί, φωνὴν τὴν χαρμόσυνον, οἱ ἐν τῷ σῷ Ὄρει ἀγαθῇ, σχόντες τὴν οἴκησιν, καὶ ἀεί σε μεγαλύνομεν.

*Προσόμοια.*

*Χαίροις ἀσκητικῶν. Ἦχος πλ.α΄*

Χαίροις τῶν Διακόνων Χριστοῦ, ὁ προεξάρχων, καὶ λογίων τῆς Χάριτος, ὁ θεῖος μεγαλοκῆρυξ, τῶν Προφητῶν τὰς φωνάς, ὁ

διατρανώσας παμμακάριστε, ὢν πλήρης τῆς πίστεως, καὶ δυνάμεως Στέφανε, τῶν Ἰουδαίων, ὁ ἐλέγξας ἀπόνοιαν, τῇ τῶν λόγων σου, τρανοφθόγγως στερρότητι, καὶ τῇ ἐκχύσει ἔνδοξε, τῶν θείων αἱμάτων σου, τῆς ἀφθαρσίας στεφάνοις, σὲ ὁ Χριστὸς κατεκόσμησε, ὃν μάκαρ δυσώπει, καὶ ἡμῖν αὐτοῦ τὸ μέγα, δοθῆναι ἔλεος.

Χαίροις ὁ τὸν Υἱὸν τοῦ Θεοῦ, ἀνεωγότος οὐρανοῦ θεασάμενος, πανένδοξε ἐστηκότα, ἐκ δεξιῶν τοῦ Πατρός, καθαρὸν δοχεῖον ὢν τοῦ Πνεύματος, ἀφέσει τοῖς φονευταῖς, ὁ ἀμείβων τοῖς λόγοις σου, χριστομιμήτως, παναοίδιμε Στέφανε, τοῖς ἐνθέοις σου, καὶ ψυχήν σου τὴν πάμφωτον, τούτου ἀνατιθέμενος, εἰς χεῖρας μακάριε, ὅνπερ ἀπαύστως δυσώπει, τῇ Ἐκκλησίᾳ δωρήσασθαι, αὐτοῦ τὴν εἰρήνην, ὡς φιλάνθρωπος Δεσπότης καὶ πολυέλεος.

Γῆθεν εἰς οὐρανὸν ἀναπτάς, στεφάνῳ δόξης, ἐγκοσμούμενος Στέφανε, Ἀγγέλοις περὶ τὸν θρόνον, τοῦ Βασιλέως Χριστοῦ, συγχορεύων μάκαρ ἀγαλλόμενος, τῆς ποίμνης σου τῆς σεπτῆς, τῆς ὑμνούσης σε μέμνησο, καὶ σοὶ τρισμάκαρ, τὴν ἐλπίδα ὡς ἔχουσαν περιφύλαττε, ἐκ παντοίων κακώσεων, ἵνα ὡς τεῖχος ἄρρηκτον, πρεσβείαν τὴν ἄμαχον, τὴν σὴν κτωμένην γεραίρῃ καὶ μεγαλύνῃ πανάριστε, Χριστοῦ Πρωτομάρτυς, Ἐκκλησίας τὸ ἀσάλευτον θεῖον ἔρεισμα.

Λόγον τοῦ Προανάρχου Πατρός, ἐν τῇ γαστρί σου, συλλαβοῦσα Πανάχραντε, τὴν θείαν τοῦ Ἀρχαγγέλου, ἐνωτισθεῖσα φωνήν, καὶ ἐν χρόνῳ Κόρη, τοῦτον τέξασα, διπλοῦν ἐν ταῖς φύσεσι, ἕνα δὲ τὴν ὑπόστασιν, τέλειον ὄντα, Θεόν ἅμα καὶ ἄνθρωπον, ὄντα τέλειον, τῶν βροτῶν εἰς ἀνάκλησιν, ὅνπερ ἀπαύστως πρέσβευε, ὡς Μήτηρ ὑπάρχουσα, αὐτοῦ Παρθένε, εἰρήνην, τῇ Ἐκκλησίᾳ δωρήσασθαι, ὑπὲρ ἧς τὸ αἷμα ἐν σταυρῷ αὐτοῦ ἐξέχεεν ὡς φιλάνθρωπος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ